Ἀψευδὴς ὁ κλῆρος, ὅτῳ κακόν· ἐς δὲ τὸ λῷον
Οὔτ' εὐχαὶ θνητοῖς εὔστοχοι, οὔτε χέροιν.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

Δειματόεις ἐλάφων κεραὸς λόχος, εὖτε κρυώδεις
Πλῆσαν ὀρῶν κορυφὰς χιόνεαι νιφάδες,
Δείλαιαι ποταμοῖσιν ἐφώρμισαν ἐλπίσι χρησταῖς,
Χλιῆναι νοτεροῖς ἄσθμασιν ὠκὺ γόνυ.
Τὰς δὲ περιφράξας ἐχθρὸς ῥόος ἀθρόον ἄφνω,
Χειμερίῃ συγκροῦ δῆσε πάγοιο πέδῃ.
Πληθὺς δ' ἀγροτέρων ἀλίνου θοινήσατο θήρης,
Ἣ φύγεν ἀρπεδόνην πολλάκι καὶ στάλικας.

ἈΝΤΙΦΑΝΟΥΣ.

Δυσμοίρων θαλάμων ἐπὶ παστάσιν οὐχ ὑμέναιος,
Ἀλλ' ἀΐδης ἔστη πικρογάμου πετάλης.
Δείματι γὰρ μούνοιν πρωτόζυγα κύπριν ἀν' ὄρφνην
Φθέγγουσαν, ζωὸν παρθενικῆσι φόβον,
Φρουροδόμοι νηλεῖς κύνες ἔκτανον. ἣν δὲ γυναῖκα
Ἐλπὶς ἰδεῖν, αἴφνης ἔχομεν οὐδὲ νέκυν.

ΛΟΥΚΙΑΝΟΥ.

Τοῖσι μὲν εὖ πράττουσιν πᾶς ὁ βίος βραχύς ἐστι·
Τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐστι χρόνος.

---

ΕΙΣ ΕΛΕΟΝ, κεφ. κδ.

ΦΙΛΙΠΠΟΥ.

Καὶ τὸν ... ῖον γυρητόμον αὔλακα τέμνει
Μητρ... κέντρῳ πειθομένη δάμαλις,

Καὶ